# Παράκληση Αγίου Μεγαλομάρτυρα Ευσταθίου



Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τόν ΡΜΒ’ (142) Ψαλμόν.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησιν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ σοῦ καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιον σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν ἐπ’ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχύ εἰσάκουσον μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου μή ἀποστρέψῃς τό πρόσωπον σου ἀπ’ ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί σοί ἤλπισα γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μοῦ ἐξελοῦ μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. Δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἶ ὁ Θεός μοῦ τό πνεῦμα σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματος σου, Κύριε, ζήσεις μέ, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλος σου εἰμι.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος ἀ΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β΄. Πάντα τά ἔθνη ἐκύκλωσαν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ΄. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

εἶτα τά Τροπάρια·

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Ὡς τοῦ Σωτῆρος Ἀθλητὴς τροπαιοῦχος, καὶ τῆς ἀνδρείας ἀκαθαίρετος πύργος, Εὐστάθιε πανεύφημε Μαρτύρων καλλονή, πειρασμῶν τὴν ἔφοδον, ἀφ΄ ἡμῶν ἀποσόβει, ἐν εἰρήνῃ Ἅγιε, τὴν ζωὴν διεξάγων, τῶν σὲ προστάτην μέγιστον σοφέ, προβαλλομένων, καὶ πρέσβυν πρὸς Κύριον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καί ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ΄ ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ

ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἵνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

Κανών, οὗ ἡ Ἀκροστιχίς•
Ἐν εὐσταθείᾳ σῷζέ με Μάρτυς. Γερασίμου.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.
Ἐλέους τὸν πρύτανιν καὶ Θεον, Εὐστάθιε Μάρτυς, καθικέτευε ἐκτενῶς, πταισμάτων συγχώρησιν διδόναι. τοῖς τῇ θερμῇ σου πρεσβείᾳ προστρέχουσι.

Ναμάτων ἀΰλων ζωοποιῶν, ἐπόμβρησον Μάρτυς, τὰς σταγόνας ἐξ οὐρανοῦ, καὶ σβέσον τὴν φλόγα τῶν παθῶν μου, ταῖς ἐπομβρίαις τῶν σῶν παρακλήσεων.

Εὐστάθειαν βίου διηνεκῆ, Εὐστάθιε Μάρτυς, καὶ ἀνδρείαν ἐν πειρασμοῖς, καὶ λύσιν παθῶν παρενοχλούντων, ἡμῖν ἐξαίτει τοῖς σὲ μακαρίζουσι.

Θεοτοκίον.
Ὑ'ψίστου καθέδρα περιφανής, ἐδείχθης Παρθένε, σωματώσασα τὸν Θεόν, ᾧ πρέσβευε πάσης ἁμαρτίας, ἀποκαθάραι τοὺς σὲ μεγαλύνοντας.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.
Συμφορῶν τάς ἐφόδους, καρτερικῶς ἤνεγκας• ὅθεν καρτερῶς ὑπομένειν, ἡμᾶς ἐνίσχυσον, Μάρτυς Εὐστάθιε, τὰς χαλεπὰς ἐπινοίας, τοῦ δολίου δράκοντος, γνώμης στεῤῥότητι.

Τὰς ὁρμὰς καὶ τὰ βέλη τὰ καθ´ ἡμῶν σύντριψον, τῶν ἐπιζητούντων ταράττειν ὑμᾶς Εὐστάθιε καὶ ἀστασίαστον, ἔργοις ἐνθέοις κομῶσαν τὴν ζωὴν συντήρησον, ἡμῶν δεόμεθα.

Ἀκαθαίρετος πύργος, ὑπομονῆς πέφηνας. πρὸς τὴν τελειότητα ταύτης ,παιδεύων πάντοτε ἡμῶν τὸ φρονημα, ἐν πειρασμοῖς πολυτρόποις καὶ ποικίλαις θλίψεσι, Μάρτυς Εὐστάθιε.

Θεοτοκίον.

Θεὸν Λόγον τεκοῦσα. μετὰ σαρκὸς Ἄχραντε, τὸν ἀνακαινίσαντα κόσμον τῆς πάλαι πτώσεως, τὸν νοῦν μου καίνισον, ζωοποιῷ θείῳ φόβῳ, καὶ ψυχήν μου κάθαρον δεινῶν προλήψεων.

Διάσωσον Μεγαλομάρτυς Εὐστάθιε πάσης βλάβης, καὶ παντοίων ὀδυνηρῶν περιστάσεων, τοὺς προσιόντας τῇ θείᾳ σου
ἀντιλήψει.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β´ Πρεσβεία θερμή.
Παθῶν τάς ὁρμάς, καὶ πειρασμῶν τὸν κλύδωνα, καὶ πᾶσαν φθοράν, τὴν καθ´ ἡμῶν ἀπότρεψον, Εὐστάθιε μακάριε, ὡς πιστῶν ἀσφαλὲς εριτείχισμα· σὺ γὰρ ποικίλως Μάρτυς πειρασθείς, ἀρήγεις τοῖς κάμνουσι ταῖς θλίψεσι.

Ὠδὴ δ’.Εἰσακήκοα Κύριε.
Εὕροιμί σε Εὐστάθιε, ὥρᾳ τῆς ἀνάγκης βοηθὸν ἕτοιμον, συνοχῆς με ἐξαιρούμενον τῶν ἐπελθουσῶν μοι Μάρτυς θλίψεων.

Ἴασαί μου τὸν καύσωνα, τὸν τῆς ἀθυμίας τῆς συνθλιβούσης με καὶ παράσχου τῇ καρδίᾳ μου, τὴν ἀναψυχὴν Μάρτυς τὴν κρείττονα.

Ἀθλοφόροι ἀήττητοι σὺν τῇ Θεοπίστῃ Μάρτυς Εὐστάθιε, καὶ Θεόπιστε, Ἀγάπιε, πάσης συμφορᾶς ἡμᾶς λυτρώσασθε.

Θεοτοκίον.
Σωτηρίας τὸν αἴτιον, σῴζοντα τὸν κόσμον Χριστὸν κυήσασα, σωτηρίας με ἀξίωσον, Κεχαριτωμένη τὸν ἱκέτην σου.

Ὠδή ε’. Φώτισον ἡμᾶς.
Ὥσπερ ἀκλινής ἐν ταῖς θλίψεσιν Εὐστάθιε, μὴ ἐκκλίνειν ταῖς τοῦ ὄφεως βουλαῖς, ἐνδυνάμωσον τὸν νοῦν ἡμῶν δεόμεθα.

Ζῆν ἡμᾶς καλῶς, εὐπραγίᾳ καὶ σεμνότητι, καὶ ἁπάσῃ ἐνάρετῳ ἀγωγῇ, καταξίωσον Εὐστάθιε μακάριε.

Ἔχοντες ὑμᾶς Θεοπίστη καὶ Εὐστάθιε, σὺν τοῖς τέκνοις ὑμῶν θείους ἀρωγούς, οὐ πτοούμεθα ἐχθρῶν τὰ μηχανήματα.

Θεοτοκίον.
Μῆτερ τοῦ Θεοῦ, Θεοτόκε Ἀειπάρθενε, τῇ ἀγάπῃ τοῦ Υἱοῦ σου τῇ θερμῇ, τὴν ψυχήν μου ἀναπτέρωσον καὶ σῶσόν με.

Ὠδὴ στ'. Τὴν δέησιν.
Ἐν πάσῃ ἐπιφορᾷ ὀλεθρίῳ, καὶ δεινῇ προσδοκωμένῃ μανίᾳ, σὺ βοηθὸς ἡμῖν φάνηθι Μάρτυς, τῶν θλιβερῶν διαλύων τήν ἔφοδον, καὶ τὴν εἰρήνην ἐκ Θεοῦ, πρυτανεύων ἡμῖιν τοῖς ποθοῦσί σε.

Μεγίστους πόνους ἀνδρείως ἐνέγκας, θαυμαστῶς ἐμεγαλύνθης θεόθεν, Μεγαλομάρτυς Εὐστάθιε, μάκαρ· ἔνθεν μεγάλων κινδύνων καὶ θλίψεων, τῇ σὴ μεγίστῃ πρὸς Χριστόν, παῤῥησίᾳ ἡμᾶς ῥύῃ πάντοτε.

Ἀγάπῃ συνδεδεμένοι ἀῤῥήκτως, ὡς ὁμόφρονες ἐν βίῳ καὶ ἄθλοις ἐν ὁμονοίᾳ ἡμᾶς καὶ ἀγάπῃ διατηρήσατε Ἅγιοι Μάρτυρες, Εὐστάθιε σὺν τοῖς υἱοῖς καὶ τῇ σῇ ὁμοζύγῳ δεόμεθα.

Θεοτοκίον.
Ῥυσθῆναι τῆς τοῦ ἐχθροῦ με μανίας, καὶ ἁπάσης δυσχερῶν προσδοκίας, τῇ σῇ εὐδόκησον χάριτι Κόρη, καὶ ἐν εἰρήνῃ καὶ βίου σεμνότητι, ἀξίωσόν με ἐκτελεῖν, τῆς ζωῆς μου Ἁγνὴ τὸ ὑπόλοιπον.

Διάσωσον Μεγαλομάρτυς Εὐστάθιε πάσης βλάβης, καὶ παντοίων ὀδυνηρῶν περιστάσεων, τοὺς προσιόντας τῇ θείᾳ σου ἀντιλήψει.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμήνευτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καί τὸ Κοντάκιον.
Ἦχος β΄ Τοῖς τῶν αἱμάτων σου ῥείθροις.
Τῇ πρὸς Θεόν σου πρεσβείᾳ Εὐστάθιε, πολυειδῶν πειρασμῶν λυ-τρωθείημεν• ὅτι πρὸς σὲ ἀφορῶντες ἑκάστοτε, συμβαινουσῶν κουφιζόμεθα θλίψεων, ὑμνοῦντες τὸν σὲ θαυμαστώσαντα.

Προκείμενον.
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον Ἐκ τοῦ κατα Ιωάννη (Κεφ. ιε`. 17-27, ιστ`. 1-2 ).
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε

ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν, ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με, εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου, ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε,ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε, ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Δόξα.
Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με....
Προσόμοιον.
Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι.
Πύργος ἀπερίτρεπτος. ὑπομονῆς καὶ ἀνδρείας, καὶ λαμπρὸν ὑπόδειγμα ψυχικῆς στεῤῥότητος, Μάρτυς πέφηνας• διὸ αἰτοῦμέν σε, τάς ἐπαναστάσεις καθ´ ἡμῶν τοῦ πολεμήτορος, καί. τὰ βουλεύματα, καὶ τάς μηχανὰς τάχος σύντριψον, ἀνδρείαν παρεχόμενος, καὶ ὑπομονὴν ἡμῖν ἄτρεπτον, ὡς ἂν θεοφρόνως, βιώσαντες Εὐστάθιε σοφέ, τῇ σῇ πρεσβείᾳ τῆς κρείττονος, δόξης ἐπιτύχωμεν.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.
Τῶν παθῶν τάς ὀδύνας καὶ τοὺς ἄνθρακας σβέσον Μάρτυς τῶν θλίψεων, καὶ ἄλυπον συντηρεῖ, ἐκ πάσης ἐπηρείας τὴν ζωὴν ἡμῶν πάντοτε, τῶν σὲ θερμὸν

ἀρωγόν, Εὐστάθιε πλουτούντων.

Ὑπὲρ πάντων δυσώπει, τῶν πιστῶς προστρεχόντων τῇ προστασίᾳ σου, πικρῶν ἀῤῥωστημάτων, ψυχῶν τε καὶ σωμάτων, ἐκλυτροῦσθαι Εὐστάθιε, καὶ μετὰ τέλος τυχεῖν τῆς ἄνω βασιλείας.

Σωτηρίας λιμένα, τὴν θερμήν σου πρεσβείαν Μάρτυς κτησάμενοι, ἐκ πάσης τρικυμίας, καὶ ζάλης τῆς ἐν βίῳ ἐκλυτρούμεθα ψάλλοντες• ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητος εἶ.

Θεοτοκίον.
Γεωργήσασα Κόρη, ἀνηρότως τὸν πάντα δημιουργήσαντα, γεώργιόν με θεῖον, ζωῆς τῆς ἐνάρετου, Θεοτόκε ἀνάδειξον, ἵνα βλαστήσω Ἁγνή, καρποὺς ἀθανασίας.

Ὠδὴ η´ Τὸν Βασιλέα.
Ἐκ τῶν σκανδάλων, τῶν χαλεπῶν τοῦ Βελίαρ, ἐλεύθερωσον Εὐστάθιε τρισμάκαρ, τοὺς τῆς σῆς αἰτοῦντας, τυχεῖν ἐπικουρίας.

Ῥῶσιν παράσχου, κατὰ ψυχήν τε καὶ σῶμα, καὶ συγχώρησιν πταισμάτων Ἀθλοφόρε, τῇ σῇ μεσιτείᾳ, ἡμῖν πρὸς τὸν Σωτῆρα.

Ἁγίων στίφος, σὺν τῷ κλεινῷ Εὐσταθίῳ Θεόπιστε, Ἀγάπιε τρισμάκαρ, καὶ τῇ Θεοπίστῃ, ἡμᾶς περιφρουρεῖτε.

Θεοτοκίον.
Σκέπη μοι ἔσο ἐκ τῶν βελῶν τοῦ Βελίαρ καὶ ὁδήγει με πρὸς τρίβον μετανοίας, Κεχαριτωμένη, Παρθένε Θεοτόκε.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.
Ἰσχὺν ἡμῖν καὶ σθένος, δίδου ἐν ἀνάγκαις, καὶ συμφοραῖς ταῖς τοῦ βίου Εὐστάθιε, τὰ δυσχερῆ εὐμαρίζων τῇ ἀντιλήψει σου.

Μὴ παύσῃ ἐποπτεύειν, καὶ τὴν σὴν παρέχειν ἐπισκοπὴν Ἀθλοφόρε Εὐστάθιε, τοῖς ἀδιστάκτῳ καρδίᾳ σὲ μακαρίζουσι.

Οἱ Μάρτυρες Κυρίου, σὺν τῷ Εὐσταθίῳ καὶ Θεοπίστῃ θέοφρον Ἀγάπιε, καὶ Θεοπίστῳ Κυρίῳ ἡμᾶς προσάγοιτε.

Θεοτοκίον.

Ὑμνοῦμέν σε βοῶντες χαῖρε Θεοτόκε, ἁμαρτωλῶν ἱλαστήριον μέγιστον, καὶ προστασία τοῦ κόσμου καὶ καταφύγιον.

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,
Δόξῃ οὐρανίῳ καταυγασθείς, θεόκλητος ὤφθης, ὡς ὁ Παῦλος εὐκλεής, καὶ λαμπρῶς ἀθλήσας, Εὐστάθιε τρισμάκαρ, ἀξίως ἐδοξάσθης θείοις χαρίσμασι.

Ἤκουσας καλούσης σε τῆς φωνῆς, Χριστοῦ τοῦ Σωτῆρος τοῦ ὀφθέντός σοι θαυμαστῶς, δι’ ἐλάφου μάκαρ, καὶ χαίρων ἐπορεύθης, τὴν μαρτυρίου τρίβον, Μάρτυς Εὐστάθιε.

Χαίροις τῆς ἀνδρείας ὑπογραμμὸς καὶ Ἰὼβ τοῦ θείου, ὑποτύπωσις ἀληθής· χαίροις ὁ ἀλείφων, ἡμᾶς πρὸς σωτηρίαν ὑπομονῆς σου Μάρτυς τοῖς κατορθώμασι.

Ὡς σεπτὴν θυσίαν καὶ προσφοράν, τοὺς ἐκ τοῦ μηροῦ σου, προελθόντας κλεινοὺς βλαστούς, ἀθλήσεως πόνοις, προσήγαγες Κυρίῳ, Εὐστάθιε θέοφρον, σὺν τῇ συζύγῳ σου.

Χαίροις τῶν Μαρτύρων ἡ τετρακτύς, Εὐστάθιε μάκαρ, Θεοπίστῃ σὺν τῇ σεμνῇ, καὶ σὺν Ἀγαπίῳ, Θεόπιστε παμμάκαρ, ἡμῶν πρὸς τὴν Τριάδα, πρέσβεις θερμοτατοι.

Παραστάται ὄντες πανευκλεεῖς, οἷα Ἀθλοφόροι, τοῦ Παντάνακτος Ἰησοῦ, εὐστάθειαν βίου, καὶ ἄφεσιν πταισμάτων, ἡμῖν ἀεὶ αἰτεῖτε, Ἅγιοι Μάρτυρες.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν. είς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί είς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα,

συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί  προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καί νῦν  ὡς  εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου  καί  τό  ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν  περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν τα ἑξῆς

Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντων βοηθὸς καὶ ἀρωγός, ἔνδοξε Εὐστάθιε πέλεις, καὶ καταφύγιον, τῶν προσερχομένων σοι, ἀνενδοιάστῳ ψυχῇ· πάσης βλάβης οὖν φυλάττε, ἡμᾶς ἀνωτέρους, καὶ Χριστοῦ τὰ βήματα, ἀκατακρίτους σοφέ, δεῖξον, μετὰ τέλος θεόφρον, τῇ μαρτυρικῇ σου πρεσβείᾳ, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Δέσποινα πρόσδεξαι τάς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ. φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστέ ὅ Θεός ἡμῶν έλέησον ἡμᾶς.
’Ἀμήν.

Δίστιχον.
Εὐστάθειαν δίδου μοι ψυχῆς ἐν πᾶσι
Εὐστάθιε σπεύδοντι σοὶ Γερασίμῳ.